[105, 1] ΑΘ. « Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι. Οὐδὲν γὰρ ἔξω τῆς ἀνθρωπείας τῶν μὲν ἐς τὸ θεῖον νομίσεως τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. [2] Ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ, τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἂν κρατῇ, ἄρχειν. Καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς αἰεὶ καταλείψοντες χρώμεθα αὐτῷ, εἰδότες καὶ ὑμᾶς ἂν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους δρῶντας ἂν αὐτό. [3] Καὶ πρὸς μὲν τὸ θεῖον οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς, μακαρίσαντες ὑμῶν τὸ ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον. [4] Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια νόμιμα πλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους πολλὰ ἄν τις ἔχων εἰπεῖν ὡς προσφέρονται, ξυνελὼν μάλιστ' ἂν δηλώσειεν ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. Καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια ».

1 30. "Quotiens causas belli et necessitatem nostram in-
tueor, magnus mihi animus est hodiernum diem consensum-
que vestrum initium libertatis toti Britanniae fore; nam et
universi coistis et servitutis expertes et nullae ultra terrae ac
ne mare quidem securum imminente nobis classe Romana.
ita proelium atque arma, quae fortibus honesta, eadem
2 etiam ignavis tutissima sunt. priores pugnae, quibus adver-
sus Romanos varia fortuna certatum est, spem ac subsidium
in nostris manibus habebant, quia nobilissimi totius Britan-
niae eoque in ipsis penetralibus siti nec ulla servientium li-
tora aspicientes, oculos quoque a contactu dominationis in-
3 violatos habebamus. nos terrarum ac libertatis extremos re-
cessus ipse ac sinus famae in hunc diem defendit: nunc ter-
minus Britanniae patet, atque omne ignotum pro magnifico
est; sed nulla iam ultra gens, nihil nisi fluctus ac saxa, et in-
festiores Romani, quorum superbiam frustra per obsequium
4 ac modestiam effugias. raptores orbis, postquam cuncta va-
stantibus defuere terrae, mare scrutantur: si locuples hostis
est, avari, si pauper, ambitiosi, quos non Oriens, non Occi-
dens satiaverit: soli omnium opes atque inopiam pari adfec-
tu concupiscunt. auferre trucidare rapere falsis nominibus
imperium, atque ubi solitudinem faciunt, pacem appellant."